eul_wid: nam-aa

*Δίδυμος ὁ Χαλκέντερος* · Didymus Chalcenterus

# On Doubtful Readings in Plato

## *Περὶ Ἀμφιβόλων Ἀναγνώσεων ἐν Πλάτωνι*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

245 (1t) ΠΕΡἾ Τ ΏΝ ἈΠΟΡΟΥΜΈΝΩΝ ΠΑΡἊ ΠΛΆΤΩΝΙ ΛΈΞΕΩΝ. Τὸ ἦ δ' ὃς (Pol. I, 377 E), σημαίνει, ὥς φησι Βοηθὸς ὁ Στωϊκὸς φιλόσοφος, τὸ ἔφη· τὸ δὲ ἦν δ' ἐγὼ (Pol. I, 327, C), τὸ ἔφην· ἔστι δ' ὅτε καὶ Ὁμηρικώτερον τῷ (f. τὸ) ἦ χρῆσθαι, ἀντὶ τοῦ ἔφη, ὡς ἐν ἀρχῇ τῆς Πολιτείας (I, 327, B) ὁ Πλάτων· ὡσαύτως καὶ ἦ δ' ἐγὼ, ἀντὶ τοῦ ἔφην ἐγώ· Ἀρίσταρχος δὲ, τὸ ἦ δ' ὃς, ἀντὶ τοῦ ἔφη δὲ, τὸ δὲ ἦν δ' ἐγὼ, ἔφην δ' ἐγώ· τὸ δὲ ἦ τῶν ἀρχαίων εἶναι φησὶ λεξειδίων. Τὸ ἀτεχνῶς, ὁτὲ μὲν ἀντὶ τοῦ ἁπλῶς καὶ ἀπλάστως, ὁτὲ δὲ ἀντὶ τοῦ τελείως καὶ ἀληθῶς καὶ ἰσχυρῶς. Ἐπηλυγάσασθαι· οἷον ἐπισκοτῆσαι καὶ ἀποκρύψαι· ἠλύγη γὰρ ἡ σκιά. Ἐπιτευτάζειν· πραγματεύεσθαι ἢ σκαιωρεῖν. Διωλύγιον· τὸ μέγα, ἢ τὸ ἐπὶ πολὺ διῆκον. Οὐκ ἐτός· οὐ μάτην, ἢ οὐκ ἀλόγως. Αἰεί· τινὲς μὲν ἀντὶ τοῦ ἐν παντὶ καιρῷ, τινὲς δὲ ἀντὶ τοῦ ἕως. Κατόπιν· μετὰ τοῦτο, ὡς Πλάτων ἐν Γοργίᾳ (p. 281, init.)· «κατόπιν ἑορτῆς ἥκομεν.» Θράττειν· ταράττειν, ἢ ἐνοχλεῖν. Θέρεσθαι (Phil.

246 46, C)· θερμαίνεσθαι. Ἀναπεμπάζεσθαι· ἐπαναλαμβάνεσθαι, ἢ ἀναλογίζεσθαι. Ἀποκναίειν· ἀπολύειν, ἢ διαφθείρειν. Ἀποδιοπομπεῖσθαι· ἀποπέμπεσθαι, καὶ οἷον ἀποκαθαίρεσθαι. Ἄδδην· οἷον τὸ ἅλις, ἢ εἰς κόρον, ὡς Πλάτων ἐν τῷ Χαρμίδι (153, D)· «ἐπειδὴ τῶν τοιούτων ἄδδην ἔσχομεν (ed. ἅδην εἴχομεν)·» Ἄρρατον· ἰσχυρὸν, ἢ δυσκίνητον. Ἀκταίνειν· οἷον μετεωρίζεσθαι καὶ γαυριᾶν· τινὲς δὲ ἐπὶ τῶν τεταραγμένως κεκινημένων. Ἄττα ( sic )· τινὰ, ὡς Πλάτων ἐν τῷ Περὶ ψυχῆς· «τοιαῦτα ἅττα,» ἤγουν τοιαῦτα τινά. Δυσωπεῖσθαι· ὑφορᾶσθαι· ἡ δὲ συνήθεια ἀντὶ τοῦ παρακαλεῖσθαι. Ἐπιώψατο· κατέλεξεν, ἢ ἐπέλεξεν, ἢ ἐξελέξατο. Ἐπὶ κόρρης· οἱ μὲν, τὸ κατὰ κεφαλὴν τύπτεσθαι· τῶν γὰρ Ἰώνων, ὥς φησιν Ἐρατοσθένης, τὴν κεφαλὴν καλούντων κόρσην, οἱ Ἀθηναῖοι καθάπερ μυρρίνην τὴν μυρσίνην καὶ τὰ ὅμοια, κόρρην τὴν κεφαλὴν ὠνόμασαν, ὡς Πλάτων ἐν Γοργίᾳ (486, C), καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου (562, 9)· οἱ δὲ, τὸ ἐπὶ κόρρης ἐξηγοῦνται τὸ εἰς τοὺς γνάθους τύπτεσθαι, ὡς Ὑπερίδης ἐν τῷ κατὰ Δωροθέου· «ῥαπίζειν αὐτὸν Ἱππόνικον κατὰ κόρρης, ἔπειτα καὶ Ἱππόνικος ὑπ' Αὐτοκλέους ἐρραπίσθη τὴν γνάθον.» Καὶ Φερεκράτης· Ὁ δ' Ἀχιλεὺς εὖ πως ἐπὶ κόρρης αὐτὸν ἐπάταξεν, ὥστε πῦρ ἀπέλαμψεν ἐκ τῶν γνάθων.

247 Ἐρεσχελεῖν (al. Ἐρεσχηλεῖν)· χλευάζειν, ἐρεθίζειν, μυκτηρίζειν. Ἔμβραχυ· ἁπλῶς, καθάπαξ. Ἐχθοδοπόν· ἀπεχθές· καὶ ἐχθοδοπεῖν, ἤγουν ἀπέχεσθαι. Ἔρρειν· φθείρεσθαι, ὡς Ὅμηρος (Il. Ω, 239)· ἔρρετε, λωβητῆρες· καὶ Πλάτων ἐν Νόμοις (III, 585, D). Εἵλη (l. Εἵλη)· ἡ τοῦ ἡλίου αὐγὴ καὶ τῶν ἀκτίνων. Ἠλύγη· σκιά. Θαλίαι· εὐωχίαι, ὡς παρ' Ὁμήρῳ (Il. I, 142)· τίσω δέ μιν ἶσον

Ὀρέστῃ, ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ· καὶ Πλάτων ἐν Πολιτείᾳ (IX, 573, D)· «καὶ κῶμαι καὶ θαλίαι (al. κῶμοι καὶ θάλειαι).» Ἴκταρ· ἐγγύς· Πλάτων ἐν Πολιτείᾳ (IX, 575, C)· «οὐδ' ἴκταρ βάλλει.» Θαμά· πυκνῶς· καὶ θαμίζειν, τὸ πυκάζειν. Τὴν δὲ κακὴν, ἐπὶ τῆς κακίας τάττει. Καταδάρθω (l. Καταδαρθῶ)· κατακοιμῶμαι. Μέλεον· ἐπίπονον. Μεταποιεῖσθαι· ἀντιποιεῖσθαι. Σφαδάζειν· ὀργίλως λυπεῖσθαι.

248 Σκωλύθριον (l. Σκολύθριον)· ὑποπόδιον, ὃ καὶ ὑποθρήνυον καὶ θρῆνυς ὠνόμασται· τινὲς δ' ἐπὶ τῶν μικρῶν διφριδίων λέγουσι τὰ σκωλύθρια (l. σκολύθρια)· Πλάτων ἐν Εὐθυδήμῳ (217, F)· «ὥσπερ οἱ τὰ σκωλύθρια (l. σκολ.) τῶν μελλόντων καθιζίσεσθαι (l. καθιζής.) ὑποσπῶντες, χαίρουσι καὶ γελῶσιν, ἐπειδὰν ἴδωσιν ὕπτιον ἀνατετραμμένον.» Σταθερόν· ἰσχυρόν. Τεθυμένον (l. Τεθυμμένον)· ὑπὸ πυρὸς βεβλαμμένον. Φαῦλον· ἡ συνήθεια ἐπὶ τοῦ καλοῦ τάττει; παρὰ δὲ Πλάτωνι ἐπὶ τοῦ ἁπλοῦ τίθεται, ὡς παρ' Εὐριπίδῃ, ἐπὶ τοῦ Ἡρακλέος· φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν· ἐν δὲ τῇ πρὸς Διόνυσον ἐπιστολῇ Πλάτων (Ep. XIII, 360, C)· «δεδιὼς δὲ λέγω ταῦτα (al. add. ὅτι), ὑπὲρ ἀνθρώπου δόξαν ἀποφαινόμενος (al. ἀποφαίνομαι), οὐ φαύλου ζώου, ἀλλ' εὐμεταβόλου·» τινὲς δὲ τὸ φαῦλον ἐκδέχονται ἐπὶ τοῦ μικροῦ, ἢ ἐπὶ τοῦ τυχόντος. Χαμεύνιον· κραββάτιον, καθάπερ καὶ παρ' Ἱππώνακτι· ἐν ταμείῳ τε καὶ χαμευνίῳ γυμνόν. Χήτει· ἀποστερήσει, ἢ ἀπορίᾳ, ἢ σπάνει, ὡς παρ' Ὁμήρῳ (Il. Z, 462)· ὥς ποτέ τις ἐρέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος χήτει τοιοῦδ' ἀνδρὸς ἀμύνειν δούλιον ἦμαρ· καὶ Πλάτων ἐν Φαίδρῳ (341, C)· «ἀλλοτρίοις (al. add. τε) χρώμασι καὶ κόσμῳ (al. κόσμοις), χήτει οἰκείων κοσμούμενοι (al. κοσμούμενον).» Ἕστι δὲ χῆτις χήτεως. Ἀμφιδρόμια· ἑορτὴ ἦν Ἀθήνῃσι τελουμένη Διονύσῳ μετὰ τὴν γέννησιν τῶν παίδων. Κουρεότης (l.

249 Κουρεῶτις) Ἀπατουρίων· ἑορτὴ τρισὶν ἡμέραις Ἀθήνῃσι τελουμένη. Χαλεστραῖον· ποιόν τι νίτρον δηλοῖ· ἔστι δὲ ἐν Μακεδονίᾳ πόλις Χαλέστρα προσαγορευομένη πλησίον Θεσσαλονίκης, ἧς ἐγγὺς γίνεται νίτρον διαφορότερον (l. διαφορώτερον) τῇ δυνάμει καὶ σμηκτικώτερον. Δευσοποιόν· ἔμμονόν τι καὶ δυσεξίτηλον καὶ ἀνέκπλυτον, ὥσπερ στύμματός τινος ἔχον λόγον ἀμεταβλήτου προσωνομασμένον (f. —μένου). Περιαγειρόμενοι· νικηφόροι δοκοῦσι παρῳδεῖσθαι, παρὰ τὸ τῶν ἀθλητῶν παλαιὸν ἔθος· πάλαι γὰρ ἆθλα μὲν τοῖς ἀγωνιζομένοις οὐ προὐτίθετο, προϊόντες δὲ οἱ νενικηκότες ἀπαρχὰς παρὰ τῶν βουλομένων ἐλάμβανον· κἀκ τούτου σύνηθες ἐγένετο τὸ ἀγείρειν περιϊόντας, οἱ δὲ κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις τε ἀνέδουν αὐτοὺς καὶ φύλλοις τε καὶ ἄνθεσιν ἔβαλλον καὶ καρποῦ (l. καρποῖς)· ὅθεν καὶ Σιμωνίδης περὶ Ἀστύλου λέγων τοῦ δρομέος· τίς δὴ τῶν νῦν (φησὶ) τοσάσδε πετάλοισι μύρτων, ἢ στεφάνοισι ῥόδων ἀνεδήσατο νίκας ἐν ἀγῶνι περικτιόνων; Τοῦτο δὲ τὸ ἔθος ἀπὸ Θησέως δοκεῖ τὴν ἀρχὴν λαβεῖν· ἐκεῖνον γὰρ ἐκ Κρήτης ἀνακομισθέντα, ὅτε τὸν Μινώταυρον ἐνίκησεν, οἱ ἀπὸ τῆς χώρας ἄνθεσι καὶ φύλλοις ἔβαλλον, καὶ τοῖς παροῦσι καρποῖς ἐτίμων. Ο γοῦν Πλάτων τοὺς περιαγειρομένους νικηφόρους ἐν τῇ Πολιτείᾳ (X, 621, extr.) φησὶ τοὺς δικαιοσύνῃ μετὰ φρονήσεως νικήσαντας, καὶ θεοῖς καὶ ἀνθρώποις φίλους γενομένους, καὶ ἐνθάδε, καὶ ἐπειδὰν τελευτήσωσιν, ὥσπερ οἱ νικηφόροι, περιαγειρόμενοι. Χθές· ἡ Ἀττικὴ συνήθεια τὸ ε περιαιροῦσα ἐκφέρει καὶ γράφει μονοσυλλάβως· καὶ τὸ κάθητο χωρὶς τοῦ ε , ἀντὶ τοῦ ἐκάθητο, ὡς ἡμεῖς λέγομεν· καὶ τὸ ξ υ ν ἀντὶ τοῦ ς υ ν. Παρίεσθαι· δοκεῖ τὴν τοῦ παραιτεῖσθαι δύναμιν ἔχειν, ὡς ἐν τῇ Ἀπολογίᾳ καὶ τοῖς Νόμοις δηλοῖ· ἐν μὲν τῇ Ἀπολογίᾳ τῇ ὑπὲρ Σωκράτους (358, E) λέγει· «τίς (al.

250 om.) τοῦτο ὑμῶν δέομαι καὶ παρίεμαι;» Ἐν δὲ τοῖς Νόμοις (V, 742, B)· «ἰδιώτην ἄνδρα (al. ἰδιώτῃ δὲ ἂν ἄρα) ποτὲ ἀνάγκη (al. add. τις) γίγνεται ἀποδημεῖν, παριέμενος (al. παρέμενος) μὲν τοὺς ἄρχοντας ἀποδημείτω.» Ἐνδίκως· ἐν δίκῃ, δικαίως. Κερασβόλον· τὸ κερασβόλον, ἔστι μὲν τῶν ἅπαξ εἰρημένων τῷ Πλάτωνι, ἔστι δὲ ἐπὶ τῶν σπερμάτων ταττόμενον, τῶν οὔτε ἐκφερόντων καρπὸν, οὔθ' ὕδατι καὶ πυρὶ τηκομένων. Ταῦτα δὲ εἶναι φασὶ τὰ ὑπὸ τῶν σπορέων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τῶν κεράτων βληθέντων τῶν βοῶν, ἀφ’ ὧν καὶ τοὔνομα ἔσχε· παραδέδοται γὰρ τοιοῦτός τις περὶ αὐτῶν λόγος, ὡς ἀτεράμνων ὄντων τῶν οὕτως εἰς τὴν γῆν καταπεσόντων σπερμάτων. Τοὺς οὖν ὑπὸ ἀπαιδευσίας ἀπειθεῖς τοῖς νόμοις κερασβόλους προσηγόρευε· διὸ καί φησιν (Legg. IX, 853, C)· «ἀνεμέσητον δεῖ (al. δὴ) φοβεῖσθαι, μή τις ἐγγίνηται (al. ἐγγίγνηται) τῶν πολιτειῶν (al. πολιτῶν) ἡμῖν οἷον κερασβόλος, ὃς ἀτέραμνος φησὶν εἰς τοσοῦτον εἰ γίγνοιτο ἀνάγωγος (al. ἀτεράμνων εἰς τοσοῦτον φύσει γίγνοιτ’ ἂν ὥστε, sine ἀνάγωγος), ὥστε μὴ τήκεσθαι καθάπερ ἐκεῖνα τὰ σπέρματα πυρὶ νόμοις, οὕτω καίπερ οὐ τοῖς ἰσχυροῖς, ἄτικτοι γίγνοιντ’ ἄν (al. οὗτοι καίπερ οὕτως ἰσχυροῖς οὖσιν ἄτικτοι γίγνωνται).» Δημοῦσθαι· παίζειν. Ἄρνυσθαι· λαμβάνειν, ἢ ἀντικαταλλάττεσθαι· ἔστι δέ τινα καὶ παρὰ τὴν συνήθειαν λέξει διακείμενα, παρηλλαγμένως παρὰ Πλάτωνι, οἷον τὸ γελασείειν καὶ τὸ κνηστείειν, ἀντὶ τοῦ γελαστικῶς ἔχειν καὶ κνηστικῶς· ἐν γὰρ τῷ Περὶ ψυχῆς (64, B)· «καὶ ὁ Σιμμίας, λέγει, γελάσας, Νὴ τὸν Δία, ἔφην (al. ἔφη), ὦ Σώκρατες, οὐ πάνυ γελασείοντά με (al. γέ με νῦν δὴ γελ.) ἐποίησας γελάσαι·» ἐν δὲ Γοργίᾳ (494, C)· «καὶ πρῶτον μὲν εἰπεῖν (al. εἰπὲ), εἰ καὶ ψωριῶντα κνησιαστὰ (al. ψωρῶντα καὶ κνησιῶντα) ἀφθόνως ἔχοντα τοῦ κεκνῆσθαι (al. κνῆσθαι), κνώμενον διατελοῦντα τὸν βίον εὐδαιμόνως ἔτι (al. ἔστι) ζῆν.» Ἑωράκη (Pol. I, 328, C)· χωρὶς τοῦν · καὶ τὸ η παραπληροῦσιν Ἀττικοί, οἷον παρῆν, καὶ τὸ ἤρεσέ με (Ep.
251 VII, 326, B), καὶ τὸ (supra τῷ) προσέπεζον (l. προσέπαιζον) τῷ Κτησίππῳ (Euthyd. 285, A), τό, τε ᾔδει (al. ᾔδη, cf. Lex. Ast.) ἀντὶ τοῦ ᾔδειν, καὶ τὸ ἠκήκοον ἀντὶ τοῦ ἀνεστήκειν, καὶ τὸ δεσποτοῦν (Tim. 44, D) ἀντὶ τοῦ δεσπόζειν, καὶ θεράπην (Hesych. θεράπνη) τὴν θεράπαιναν, καὶ τὸ καταποντισθῆναι καταποντωθῆναι (Gorg. 511, E), καὶ τὸ διαπορηθέντες (Tim. 49, B) ἀντὶ τοῦ διαποροῦντες· πάντα γὰρ ἐπεξελθεῖν οὔτε ῥᾴδιον, οὔτε πρὸς τὴν παροῦσαν γραφὴν ἀναγκαῖον. Κρούει (f. Κρούειν)· τινῶν αἰτιωμένων ὡς οὐκ Ἀττικὸν, ἀλλὰ παρεφθαρμένον τοῦτο, παρὰ τὸ κόπτειν, ἐν Πρωταγόρᾳ (310, A)· «τῆς γὰρ (al. om.) παρελθούσης νυκτὸς (al. add. ταυτησὶ), ἔτι βαθέος ὄρθρου, Ἱπποκράτης, ὁ Ἀπολλοδώρου υἱὸς, Φάσωνος δὲ (al. δ’) ἀδελφὸς, τὴν θύραν τῇ βακτηρίᾳ εἰς (al. πάνυ pro εἰς) σφόδρα ἔκρουσε (al. σφοδρ’ ἔκρουε)·» καὶ μικρῷ προελθὼν (Prot. 314, C), «δοκεῖ οὖν μοι, φησὶν, ὁ θυρωρὸς, εὐνοῦχός τις κατήκουεν ἡμῶν, κινδυνεύει δὲ διὰ τὸ πλῆθος τῶν σοφιστῶν, ἄχθεσθαι τοῖς ὠσὶν (al. φοιτῶσιν) εἰς τὴν οἰκίαν. Ἐπειδὴ οὖν (al. γοῦν) ἐκρούσαμεν τὴν θύραν, ἀνοίξας καὶ ἰδὼν ἡμᾶς.» Τάς τε ἀποφύσεις τῶν δένδρων ἀκρέμονας καὶ νῦν τῶν Ἀττικῶν λεγόντων, Πλάτων ἐν τῷ αὐτῷ συγγράμματι κλῶνας εἶπεν (Prot. 334, B)· «οἷον καὶ ἡ κόπρος πάντων τῶν φυτῶν ταῖς μὲν ῥίζαις ἀγαθὸν παραβαλλομένη, εἰ δὲ θέλεις (al. δ’ ἐθέλοις) ἐπὶ τοὺς πτόρθους καὶ τοὺς νέους κλῶνας ἐπιβάλλειν πάντ’ ἀπόλλυσι.» Τάς γε μὴν γνάθους τῶν Ἀττικῶν συνήθως λεγόντων, αὐτὸς παρειὰς προσωνόμασεν ἐν τῷ Πολιτικῷ (270, E) «τῶν δ’ αὖ γενειώντων αἱ παρειαὶ λεαινόμεναι πάλιν ἐπὶ τὴν παρελθοῦσαν ὥραν ἕκασται καθίστανται (al. ἕκαστον καθίστασαν).» Τήν τε λεγομένην ὑπὸ τῶν πολλῶν τορύνην, ὑπὸ δὲ τῶν Ἀττικῶν εὐεργέτιν, κατὰ τὴν ἰδιωτικὴν συνήθειαν καὶ Πλάτων προσωνόμασεν ἐν Ἱππίᾳ τῷ μείζονι (290 E)· «ἀλλ’ ὅμως τί φήσομεν προτέραν (al. ποτέραν) πρέπειν τορύνην (al. τοῖν τορύναιν) τῷ ἔτνει καὶ τῇ χύτρᾳ;» Ἀπελεύθερον δὲ νῦν οὐ πάνυ τι λεγόντων, ἀλλ’ ἐξελεύθερον, καὶ νόμου καλουμένου τινὸς ἐξελευθερικοῦ, περὶ τῶν ἐξελευθέρων Πλάτων ἐν τοῖς Νόμοις (XI, 315, A) γράφει· «ἀπαιτῶ (al. ἀγήτω) δὲ καὶ τὸν ἀπελεύθερον, ἐάν τις μὴ θεραπεύειν (al.
252 θεραπεύῃ) τοὺς ἀπελευθερώσαντας ἢ μὴ ἱκανῶς. Θεραπεία δὲ φοιτᾶν τρὶς τοῦ μηνὸς τὸν ἀπελευθερώσαντα (al. ἀπελευθερωθέντα) πρὸς τὴν τοῦ ἀπελευθερώσαντος ἑστίαν.» Καταγνύειν· ἀντὶ τοῦ συντρίβειν χρωμένων τῶν φησὶ (Men. 77, A), «καὶ παῦσαι πολλὰ ποιῶν ἐκ τοῦ ἑνὸς ὅπερ φασὶ τοὺς συντρίβοντας (al. add. τι) ἑκάστοτε οἱ σκώπτοντες.» Τοῦ τε καταλύμματος (l. καταλύματος) ἢ καταλύσεως· καὶ τοῦ καταλύειν ὑπὸ τῶν ἀκριβέστερον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀττικιζόντων, οὐ δοκιμαζόντων διὰ τὸ καταγώγιον, ἀλλ' ὀρθῶς δοκεῖν λέγεσθαι, καὶ καταγωὼς καὶ κατάγεσθαι, τὸν τούτων ὑπεριδὼν ἀπειρίαν, ἐν μὲν Φαίδρῳ (230 B) φησί· «Νὴ τὴν Ἥραν, καλή τε (al. καλή γ') ἡ καταγωγή. Ἥ τε γὰρ πλάτανος αὕτη μάλα (al. μάλ') ἀμφιλαφής.» Καὶ ἔτι ἐν τῷ αὐτῷ συγγράμματι (259, A)· «ἡγούμενος (al. ἡγούμενοι) ἀνδράποδα, φησὶν, ἐλθόντα (al. ἀνδράποδ' ἅττα σφίσιν ἐλθόντ') εἰς τὸ καταγώγιον ὥσπερ τε πρόβατα (al. ὥσπερ προβάτια) μεσημβριάζοντα περὶ τὴν κρήνην ἰδεῖν (al. εὕδειν).» Ἐν μέντοι Πρωταγόρᾳ (315, D)· «ἦν δ' ἐν οἰκήματί τινι, ᾧ πρὸ τοῦ (al. προτοῦ) μὲν ὡς ταμιείῳ τινὶ (al. om.) ἐχρῆτο ὁ (al. ὁ om.) Ἱππόνικος, νῦν δ' ὑπὸ τοῦ πλήθους τῶν καταλυόντων ὁ Καλλίας καὶ τοῦτο (al. τοῦτ') ἐκκενώσας ξένοις καταλύειν (al. κατάλυσιν) πεποίηκεν.» Ὁμοίως δὲ καὶ ἐν Τιμαίῳ (20, C)· «ἐπεὶ δὲ (al. ἐπειδὴ) παρὰ Κριτίαν πρὸς τὸν ξενῶνα, οὗ κατελύομεν (al. οὗ καὶ καταλύομεν), ἀφικόμεθα.» Καὶ ἐν Γοργίᾳ (447, B)· «οὐκοῦν ὅταν βούλησθε, χρὴ παρ' ἐμὲ ἥκειν (al. add. οἴκαδε)· παρ' ἐμοὶ γὰρ ὁ (al. om.) Γοργίας κατέλυσε (al. καταλύει).» Καὶ ἄλλο δὲ πλῆθος ἐστὶ τῶν οὕτως ἐχόντων λεξειδίων, περὶ ὧν μακρὸν ἂν εἴη διέρχεσθαι, καὶ ταῦτα γὰρ ἀποχρήσειν πρὸς τὴν μάθησιν τῆς Πλατωνικῆς φράσεως, τὴν δ' ἐξήγησιν ἀπέδραμον τῶν λεξειδίων ὡς ἐφάνη μοι κατὰ τὸ πρόχειρον καὶ πιθανὸν, καὶ συνεκφαινόμενον ἐκ τῶν συμφραζομένων, ἀκολουθήσας τῶν καθηγητῶν ταῖς ὑφηγήσεσιν, οὐ διισχυριζόμενος ὡς οὐχ ἕτερος ὡς οὐχ ἑτέρως δυνατὸν αὐτῶν· ἕκαστον· περὶ δὲ τῶν ἄλλων, ὧν χρὴ παραδίδοσθαι τῆς ἀναγνώσεως, ἑξῆς ὑπομνηματισάμενος ἀναδώσω, πειρώμενος ἐν οἷς ὠφελεῖν σε δύναμαι, πρὸς τὴν τῶν καλλίστων μάθησιν προθύμως μεταδιδόναι καὶ γεραίρειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org